ἀρθρ. ϛιχ.

Κς. Καὶ δὴ Γαληνὸς ξυμφρόνως Ἱπποκράτει (ζ)
κἄλλις ἔφασκεν, ὡς ἄρα ξυμμετρίᾳ
ἔοικεν αὐτῆς τὰς ἐνεργείας φύσις
ἐν σώματι δρᾶν, οἱονεί τ᾽ ὀρθῷ λόγῳ
τουτὶ διοικεῖν, πάντα τ᾽ ἐρρυθμισμένα
δρᾶν ἅσσ᾽ ἀπαρτίζει τε καὶ σώζει τόδε,
χ᾽ ὁδῷ βαδίζον τεχνικὸν πῦρ τυγχάνειν (η)
ξυνῳδά πως Πλάτωνι τήνδ᾽ εἴρηκέ τις·
ταυτί δ᾽ ὑπ᾽ αὐτῶν ἀτρεκέστατ᾽ ἐρρέθη
ἅτε σκοπουμένων τάδ᾽ ἠκριβωμένως·
ῥυθμῷ γὰρ ὀρθῷ χἀρμογῇ τεταγμένῃ,
ἰσορρόπῳ τε κἀρτίᾳ ξυμμετρίᾳ
αἰσθήσεώς τε καὶ κατασκευῆς δέμας
πᾶν ξυμπέπηγε, καὶ ξυνήρμοσται λόγῳ
ἐκ δημιουργοῦ πανσοφωτάτου σθένους (θ),
ὡς τῇ τε πείρᾳ τῇ κ θέας τοῦδ᾽ εἰδέναι,
κἀν τοῖς θεάτροις τῶν τομῶν θεᾶσθ᾽ ἔνι.
κινήσεών τε τοιγαροῦν σύστημ᾽ ἅπαν,
ὃ τῆσδ᾽ ἀρίστης ἐστὶν ἐξηρτημένον
συμπήξεώς τε καὶ συναρμογῆς ὅλως,
κἀκ τῆσδε τὴν ὕπαρξιν αὐτοῦ λαμβάνει, ια. 222
ῥυθμῷ τ᾽ ἀρίστῳ καὶ λόγῳ ξυμμετρίας,
ὡρι-

(ζ) Περὶ φυσικ. δυνάμ. Α. β. περὶ χρείας τῶν ἐν ἀνθρωπ. σώμ. μορ. ις. ιζ. ἐπιδ. ς. ὑπομνημ. ε. (η) Ὅροι Ἰατρικοί. (θ) Γαλην. περὶ χρείας τῶν ἐν ἀνθρ. σώμ. μορ. Α. -- ις. γ. ι.